Καὶ μετ' ἀροτροπόνου ζεύγλας πάλι τῷ νεοθηλεῖ
Πινομένη μόσχῳ, δεύτερον ἄλγος ἔχει.
Μὴ θλίψῃς αὐτὴν ὁ γεωμόρος· οὗτος ὁ βαιὸς
Μόσχος, ἐὰν φείσῃ, σοὶ τρέφεται δάμαλις.

Τίνας ἂν εἴποι μελέαγρος, βοὸς μέλλοντος
θύεσθαι τῷ διῒ, καὶ μυκωμένου.

Αὐτὸς ὁ βοῦς, ἱκέτης ἐπιβώμιος, αἴθερε Ζεῦ,
Μυκᾶται, ψυχὴν ῥυόμενος θανάτου.
Ἀλλὰ μέθες κρονίδη τὸν ἀροτρέα· καὶ σὺ γὰρ αὐτὸς
Πορθμεὺς εὐρώπης ταῦρος ἄναξ ἐγένου.

---

## ΕΙΣ ΕΛΠΙΔΑΣ, κεφ. κε.

## ΙΟΥΛΙΟΥ ΠΟΛΥΑΙΝΟΥ.

Ἐλπὶς ἀεὶ βιότου, κλέπτει νόον· ἡ πυμάτη δὲ
Ἠὼς τὰς πολλὰς ἔφθασεν ἀσχολίας.

Ἄδηλον.

Ἐλπὶς καὶ σὺ τύχη μέγα χαίρετε. τὴν ὁδὸν εὗρον,
Οὐκ ἔτι γὰρ σφετέροις ἐπιτέρπομαι. ἔῤῥετε ἄμφω,
Οὕνεκεν ἐν μερόπεσσι πολυπλανέες μάλα ἐστέ.
Ὅσσα γὰρ ἀτρεκέως οὐκ ἔσεται, ὔμμες ἐν ἡμῖν
Φάσματα ὡς ἐν ὕπνῳ ἐμβάλλετε, οἷά τ' ἐόντα.
Ἔῤῥε κακὴ γλεώη, πλανώδης· ἔῤῥετε ἄμφω.
Παίζοιτε, στροφέοιτε ὅσους ἐμεῦ ὕστερον ὄντας,
Εὕροιτ' οὐ νοέοντας ὅπερ θέμις ἐστὶ νοῆσαι.

Αδη